## I John 1: 1

Ὃ ἦν ἀπ’ ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς—

ἐθεασάμεθα: verb, 1st person aorist middle indicative plural < θεάομαι
to behold

ἐψηλάφησαν: verb, 3rd person aorist active indicative plural < ψηλαφάω
to feel or grope around, to touch, handle

## I John 1: 2

καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον ἥτις ἦν πρὸς τὸν πατέρα καὶ ἐφανερώθη ἡμῖν—

There are no rare words in this verse.

## I John 1: 3

ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν ἀπαγγέλλομεν καὶ ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ’ ἡμῶν· καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ πατρὸς καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ·

κοινωνίαν: noun, accusative singular feminine < κοινωνία
fellowship; contribution

κοινωνία: noun, nominative singular feminine < κοινωνία
fellowship; contribution

ἡμετέρα: adjective, nominative singular feminine < ἡμέτερος
our

## I John 1: 4

καὶ ταῦτα γράφομεν ἡμεῖς ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη.

There are no rare words in this verse.

## I John 1: 5

Καὶ ἔστιν αὕτη ἡ ἀγγελία ἣν ἀκηκόαμεν ἀπ’ αὐτοῦ καὶ ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ θεὸς φῶς ἐστιν καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία.

ἀγγελία: noun, nominative singular feminine < ἀγγελία
a message

ἀναγγέλλομεν: verb, 1st person present active indicative plural < ἀναγγέλλω
to announce, report

σκοτία: noun, nominative singular feminine < σκοτία
darkness

## I John 1: 6

ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν μετ’ αὐτοῦ καὶ ἐν τῷ σκότει περιπατῶμεν, ψευδόμεθα

καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν·

κοινωνίαν: noun, accusative singular feminine < κοινωνία
fellowship; contribution

σκότει: noun, dative singular neuter < σκότος
darkness

ψευδόμεθα: verb, 1st person present middle indicative plural < ψεύδομαι
to lie

## I John 1: 7

ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοινωνίαν ἔχομεν μετ' ἀλλήλων καὶ τὸ αἷμα Ἰησοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.

κοινωνίαν: noun, accusative singular feminine < κοινωνία
fellowship; contribution

καθαρίζει: verb, 3rd person present active indicative singular < καθαρίζω
to cleanse

## I John 1: 8

ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν.

πλανῶμεν: verb, 1st person present active indicative plural < πλανάω
to lead astray

## I John 1: 9

ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστιν καὶ δίκαιος ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας.

ὁμολογῶμεν: verb, 1st person present active subjunctive plural < ὁμολογέω
to confess, profess

καθαρίσῃ: verb, 3rd person aorist active subjunctive singular < καθαρίζω
to cleanse

ἀδικίας: noun, genitive singular feminine < ἀδικία
unrighteousness

## I John 1: 10

ἐὰν εἴπωμεν ὅτι οὐχ ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτὸν καὶ ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

ψεύστην: noun, accusative singular masculine < ψεύστης
a liar

## I John 2: 1

Τεκνία μου, ταῦτα γράφω ὑμῖν ἵνα μὴ ἁμάρτητε. καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν

πρὸς τὸν πατέρα Ἰησοῦν Χριστὸν δίκαιον,

Τεκνία: noun, plural neuter < τεκνίον
a little child

παράκλητον: noun, accusative singular masculine < παράκλητος
helper, advocate

## I John 2: 2

καὶ αὐτὸς ἱλασμός ἐστιν περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου.

ἱλασμός: noun, nominative singular masculine < ἱλασμός
expiation, propitiation, sin-offering

ἡμετέρων: adjective, genitive plural feminine < ἡμέτερος
our

## I John 2: 3

Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτόν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν.

There are no rare words in this verse.

## I John 2: 4

ὁ λέγων ὅτι Ἔγνωκα αὐτὸν καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν ψεύστης ἐστίν, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν·

ψεύστης: noun, nominative singular masculine < ψεύστης
a liar

## I John 2: 5

ὃς δ' ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ θεοῦ τετελείωται. ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ ἐσμεν·

ἀληθῶς: adverb < ἀληθῶς
truly

τετελείωται: verb, 3rd person perfect passive indicative singular < τελειόω
to fulfill, make perfect

## I John 2: 6

ὁ λέγων ἐν αὐτῷ μένειν ὀφείλει καθὼς ἐκεῖνος περιεπάτησεν καὶ αὐτὸς περιπατεῖν.

ὀφείλει: verb, 3rd person present active indicative singular < ὀφείλω
to owe, ought

## I John 2: 7

Ἀγαπητοί, οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλ' ἐντολὴν παλαιὰν ἣν εἴχετε ἀπ' ἀρχῆς· ἡ

ἐντολὴ ἡ παλαιά ἐστιν ὁ λόγος ὃν ἠκούσατε.

παλαιὰν: adjective, accusative singular feminine < παλαιός
old

παλαιά: adjective, nominative singular feminine < παλαιός
old

## I John 2: 8

πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν, ὅ ἐστιν ἀληθὲς ἐν αὐτῷ καὶ ἐν ὑμῖν, ὅτι ἡ σκοτία
παράγεται καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει.

ἀληθὲς: adjective, nominative singular neuter < ἀληθής
TRUE

σκοτία: noun, nominative singular feminine < σκοτία
darkness

παράγεται: verb, 3rd person present passive indicative singular < παράγω
to pass by

ἀληθινὸν: adjective, nominative singular neuter < ἀληθινός
TRUE

φαίνει: verb, 3rd person present active indicative singular < φαίνω
to shine, appear

## I John 2: 9

ὁ λέγων ἐν τῷ φωτὶ εἶναι καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν ἐν τῇ σκοτίᾳ ἐστὶν ἕως ἄρτι.

σκοτίᾳ: noun, dative singular feminine < σκοτία
darkness

ἄρτι: adverb < ἄρτι
now, just now

## I John 2: 10

ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ φωτὶ μένει, καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ ἔστιν·

σκάνδαλον: noun, nominative singular neuter < σκάνδαλον
a cause of stumbling

## I John 2: 11

ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἐν τῇ σκοτίᾳ ἐστὶν καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ, καὶ οὐκ οἶδεν
ποῦ ὑπάγει, ὅτι ἡ σκοτία ἐτύφλωσεν τοὺς ὀφθαλμοὺς αὐτοῦ.

σκοτίᾳ: noun, dative singular feminine < σκοτία
darkness

σκοτίᾳ: noun, dative singular feminine < σκοτία

darkness

σκοτία: noun, nominative singular feminine < σκοτία
darkness

ἐτύφλωσεν: verb, 3rd person aorist active indicative singular < τυφλόω
to blind, to make blind

## I John 2: 12

Γράφω ὑμῖν, τεκνία, ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ·

τεκνία: noun, plural neuter < τεκνίον
a little child

## I John 2: 13

γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ’ ἀρχῆς· γράφω ὑμῖν, νεανίσκοι, ὅτι νενικήκατε τὸν πονηρόν.

νεανίσκοι: noun, vocative plural masculine < νεανίσκος
a youth

νενικήκατε: verb, 2nd person perfect active indicative plural < νικάω
to conquer

## I John 2: 14

ἔγραψα ὑμῖν, παιδία, ὅτι ἐγνώκατε τὸν πατέρα· ἔγραψα ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ’ ἀρχῆς· ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε καὶ ὁ λόγος τοῦ θεοῦ ἐν ὑμῖν μένει καὶ νενικήκατε τὸν πονηρόν.

νεανίσκοι: noun, vocative plural masculine < νεανίσκος
a youth

ἰσχυροί: adjective, nominative plural masculine < ἰσχυρός
strong

νενικήκατε: verb, 2nd person perfect active indicative plural < νικάω
to conquer

## I John 2: 15

Μὴ ἀγαπᾶτε τὸν κόσμον μηδὲ τὰ ἐν τῷ κόσμῳ. ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ·

There are no rare words in this verse.

## I John 2: 16

ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ πατρός, ἀλλὰ ἐκ τοῦ κόσμου ἐστίν·

ἐπιθυμία: noun, nominative singular feminine < ἐπιθυμία

eager desire, passion, lust

ἐπιθυμία: noun, nominative singular feminine < ἐπιθυμία
eager desire, passion, lust

ἀλαζονεία: noun, nominative singular feminine < ἀλαζονεία
pretension, arrogance

βίου: noun, genitive singular masculine < βίος
life

## I John 2: 17

καὶ ὁ κόσμος παράγεται καὶ ἡ ἐπιθυμία αὐτοῦ, ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ θεοῦ μένει εἰς τὸν αἰῶνα.

παράγεται: verb, 3rd person present passive indicative singular < παράγω
to pass by

ἐπιθυμία: noun, nominative singular feminine < ἐπιθυμία
eager desire, passion, lust

## I John 2: 18

Παιδία, ἐσχάτη ὥρα ἐστίν, καὶ καθὼς ἠκούσατε ὅτι ἀντίχριστος ἔρχεται, καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν· ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν.

ἀντίχριστος: noun, nominative singular masculine < ἀντίχριστος
antichrist

ἀντίχριστοι: noun, nominative plural masculine < ἀντίχριστος
antichrist

ὅθεν: conjunction < ὅθεν
whence, wherefore

## I John 2: 19

ἐξ ἡμῶν ἐξῆλθαν, ἀλλ’ οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ ἐξ ἡμῶν ἦσαν, μεμενήκεισαν ἂν μεθ’ ἡμῶν· ἀλλ’ ἵνα φανερωθῶσιν ὅτι οὐκ εἰσὶν πάντες ἐξ ἡμῶν.

There are no rare words in this verse.

## I John 2: 20

καὶ ὑμεῖς χρῖσμα ἔχετε ἀπὸ τοῦ ἁγίου καὶ οἴδατε πάντες·

χρῖσμα: noun, accusative singular neuter < χρῖσμα
an anointing, unction

## I John 2: 21

οὐκ ἔγραψα ὑμῖν ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν, ἀλλ’ ὅτι οἴδατε αὐτήν, καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ ἔστιν.

ψεῦδος: noun, nominative singular neuter < ψεῦδος
a lie

## I John 2: 22

τίς ἐστιν ὁ ψεύστης εἰ μὴ ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ χριστός; οὗτός ἐστιν ὁ ἀντίχριστος, ὁ ἀρνούμενος τὸν πατέρα καὶ τὸν υἱόν.

ψεύστης: noun, nominative singular masculine < ψεύστης
a liar

ἀρνούμενος: verb, present middle participle nominative singular masculine < ἀρνέομαι
to deny

ἀντίχριστος: noun, nominative singular masculine < ἀντίχριστος
antichrist

ἀρνούμενος: verb, present middle participle nominative singular masculine < ἀρνέομαι
to deny

## I John 2: 23

πᾶς ὁ ἀρνούμενος τὸν υἱὸν οὐδὲ τὸν πατέρα ἔχει· ὁ ὁμολογῶν τὸν υἱὸν καὶ τὸν πατέρα ἔχει.

ἀρνούμενος: verb, present middle participle nominative singular masculine < ἀρνέομαι
to deny

ὁμολογῶν: verb, present active participle nominative singular masculine < ὁμολογέω
to confess, profess

## I John 2: 24

ὑμεῖς ὃ ἠκούσατε ἀπ’ ἀρχῆς, ἐν ὑμῖν μενέτω· ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ’ ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ υἱῷ καὶ ἐν τῷ πατρὶ μενεῖτε.

There are no rare words in this verse.

## I John 2: 25

καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν αὐτὸς ἐπηγγείλατο ἡμῖν, τὴν ζωὴν τὴν αἰώνιον.

ἐπηγγείλατο: verb, 3rd person aorist middle indicative singular < ἐπαγγέλλομαι
to promise

## I John 2: 26

Ταῦτα ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς.

πλανώντων: verb, present active participle genitive plural masculine < πλανάω
to lead astray

## I John 2: 27

καὶ ὑμεῖς τὸ χρῖσμα ὃ ἐλάβετε ἀπ’ αὐτοῦ μένει ἐν ὑμῖν, καὶ οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ

ὑμᾶς· ἀλλ’ ὡς τὸ αὐτοῦ χρῖσμα διδάσκει ὑμᾶς περὶ πάντων, καὶ ἀληθές ἐστιν καὶ οὐκ ἔστιν ψεῦδος, καὶ καθὼς ἐδίδαξεν ὑμᾶς, μένετε ἐν αὐτῷ.

χρῖσμα: noun, nominative singular neuter < χρῖσμα
an anointing, unction

χρῖσμα: noun, nominative singular neuter < χρῖσμα
an anointing, unction

ἀληθές: adjective, nominative singular neuter < ἀληθής
TRUE

ψεῦδος: noun, nominative singular neuter < ψεῦδος
a lie

## I John 2: 28

Καὶ νῦν, τεκνία, μένετε ἐν αὐτῷ, ἵνα ἐὰν φανερωθῇ σχῶμεν παρρησίαν καὶ μὴ αἰσχυνθῶμεν ἀπ’ αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ.

τεκνία: noun, plural neuter < τεκνίον
a little child

παρρησίαν: noun, accusative singular feminine < παρρησία
boldness, confidence

αἰσχυνθῶμεν: verb, 1st person aorist passive subjunctive plural < αἰσχύνομαι
to dishonor, put to shame, fell ashamed

παρουσίᾳ: noun, dative singular feminine < παρουσία
presence, coming

## I John 2: 29

ἐὰν εἰδῆτε ὅτι δίκαιός ἐστιν, γινώσκετε ὅτι πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην ἐξ αὐτοῦ γεγέννηται.

There are no rare words in this verse.

## I John 3: 1

ἴδετε ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ πατὴρ ἵνα τέκνα θεοῦ κληθῶμεν, καὶ ἐσμέν. διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ἡμᾶς ὅτι οὐκ ἔγνω αὐτόν.

ποταπὴν: interrogative/indefinite pronoun, accusative singular feminine < ποταπός
from what country? what kind of?

## I John 3: 2

ἀγαπητοί, νῦν τέκνα θεοῦ ἐσμεν, καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα. οἴδαμεν ὅτι ἐὰν φανερωθῇ ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστιν.

οὔπω: adverb < οὔπω
not yet

## I John 3: 3
καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ’ αὐτῷ ἁγνίζει ἑαυτὸν καθὼς ἐκεῖνος ἁγνός ἐστιν.

ἁγνίζει: verb, 3rd person present active indicative singular < ἁγνίζω
to purify, cleanse from defilement

ἁγνός: adjective, nominative singular masculine < ἁγνός
pure, holy; chaste, innocent

## I John 3: 4
Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν καὶ τὴν ἀνομίαν ποιεῖ, καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία.

ἀνομίαν: noun, accusative singular feminine < ἀνομία
lawlessness

ἀνομία: noun, nominative singular feminine < ἀνομία
lawlessness

## I John 3: 5
καὶ οἴδατε ὅτι ἐκεῖνος ἐφανερώθη ἵνα τὰς ἁμαρτίας ἄρῃ, καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστιν.

There are no rare words in this verse.

## I John 3: 6
πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει· πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτὸν οὐδὲ ἔγνωκεν αὐτόν.

There are no rare words in this verse.

## I John 3: 7
τεκνία, μηδεὶς πλανάτω ὑμᾶς· ὁ ποιῶν τὴν δικαιοσύνην δίκαιός ἐστιν, καθὼς ἐκεῖνος δίκαιός ἐστιν·

τεκνία: noun, plural neuter < τεκνίον
a little child

πλανάτω: verb, 3rd person present active imperative singular < πλανάω
to lead astray

## I John 3: 8
ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν, ὅτι ἀπ’ ἀρχῆς ὁ διάβολος ἁμαρτάνει. εἰς τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ θεοῦ ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου.

διαβόλου: adjective, genitive singular masculine < διάβολος
slanderer, accuser, the Devil

διάβολος: adjective, nominative singular masculine < διάβολος
slanderer, accuser, the Devil

διαβόλου: adjective, genitive singular masculine < διάβολος

slanderer, accuser, the Devil

## I John 3: 9

πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει, καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ θεοῦ γεγέννηται.

There are no rare words in this verse.

## I John 3: 10

ἐν τούτῳ φανερά ἐστιν τὰ τέκνα τοῦ θεοῦ καὶ τὰ τέκνα τοῦ διαβόλου· πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ.

φανερά: adjective, nominative plural neuter < φανερός
manifest

διαβόλου: adjective, genitive singular masculine < διάβολος
slanderer, accuser, the Devil

## I John 3: 11

Ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία ἣν ἠκούσατε ἀπ’ ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους·

ἀγγελία: noun, nominative singular feminine < ἀγγελία
a message

## I John 3: 12

οὐ καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ ἦν καὶ ἔσφαξεν τὸν ἀδελφὸν αὐτοῦ· καὶ χάριν τίνος ἔσφαξεν αὐτόν; ὅτι τὰ ἔργα αὐτοῦ πονηρὰ ἦν, τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια.

Κάϊν: noun, nominative singular masculine < Κάϊν
Cain

ἔσφαξεν: verb, 3rd person aorist active indicative singular < σφάζω
to slay

χάριν: preposition < χάριν
in favor of, for the pleasure of

ἔσφαξεν: verb, 3rd person aorist active indicative singular < σφάζω
to slay

## I John 3: 13

μὴ θαυμάζετε, ἀδελφοί, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος.

There are no rare words in this verse.

## I John 3: 14

ἡμεῖς οἴδαμεν ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς· ὁ μὴ ἀγαπῶν μένει ἐν τῷ θανάτῳ.

μεταβεβήκαμεν: verb, 1st person perfect active indicative plural < μεταβαίνω

to depart

## I John 3: 15

πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστίν, καὶ οἴδατε ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ μένουσαν.

ἀνθρωποκτόνος: noun, nominative singular masculine < ἀνθρωποκτόνος
a murderer

ἀνθρωποκτόνος: noun, nominative singular masculine < ἀνθρωποκτόνος
a murderer

## I John 3: 16

ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκεν· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς θεῖναι.

ὀφείλομεν: verb, 1st person present active indicative plural < ὀφείλω
to owe, ought

## I John 3: 17

ὃς δ' ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ' αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ θεοῦ μένει ἐν αὐτῷ;

βίον: noun, accusative singular masculine < βίος
life

κλείσῃ: verb, 3rd person aorist active subjunctive singular < κλείω
to shut

σπλάγχνα: noun, accusative plural neuter < σπλάγχνον
bowels, heart, tender mercies, compassion

## I John 3: 18

Τεκνία, μὴ ἀγαπῶμεν λόγῳ μηδὲ τῇ γλώσσῃ ἀλλὰ ἐν ἔργῳ καὶ ἀληθείᾳ.

Τεκνία: noun, plural neuter < τεκνίον
a little child

## I John 3: 19

ἐν τούτῳ γνωσόμεθα ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν, καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὴν καρδίαν ἡμῶν

There are no rare words in this verse.

## I John 3: 20

ὅτι ἐὰν καταγινώσκῃ ἡμῶν ἡ καρδία, ὅτι μείζων ἐστὶν ὁ θεὸς τῆς καρδίας ἡμῶν καὶ γινώσκει πάντα.

καταγινώσκῃ: verb, 3rd person present active subjunctive singular < καταγινώσκω

to condemn

## I John 3: 21

ἀγαπητοί, ἐὰν ἡ καρδία μὴ καταγινώσκῃ ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν θεόν,

καταγινώσκῃ: verb, 3rd person present active subjunctive singular < καταγινώσκω
to condemn

παρρησίαν: noun, accusative singular feminine < παρρησία
boldness, confidence

## I John 3: 22

καὶ ὃ ἐὰν αἰτῶμεν λαμβάνομεν ἀπ' αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν.

ἀρεστὰ: adjective, accusative plural neuter < ἀρεστός
pleasing, desirable

## I John 3: 23

καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ ἀγαπῶμεν ἀλλήλους, καθὼς ἔδωκεν ἐντολὴν ἡμῖν.

There are no rare words in this verse.

## I John 3: 24

καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν αὐτῷ· καὶ ἐν τούτῳ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ πνεύματος οὗ ἡμῖν ἔδωκεν.

There are no rare words in this verse.

## I John 4: 1

Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα εἰ ἐκ τοῦ θεοῦ ἐστιν, ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν κόσμον.

δοκιμάζετε: verb, 2nd person present active imperative plural < δοκιμάζω
to prove, approve

ψευδοπροφῆται: noun, nominative plural masculine < ψευδοπροφήτης
a false prophet

## I John 4: 2

ἐν τούτῳ γινώσκετε τὸ πνεῦμα τοῦ θεοῦ· πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα ἐκ τοῦ θεοῦ ἐστιν,

ὁμολογεῖ: verb, 3rd person present active indicative singular < ὁμολογέω
to confess, profess

## I John 4: 3

καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν ἐκ τοῦ θεοῦ οὐκ ἔστιν· καὶ τοῦτό ἐστιν τὸ τοῦ ἀντιχρίστου, ὃ ἀκηκόατε ὅτι ἔρχεται, καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη.

ὁμολογεῖ: verb, 3rd person present active indicative singular < ὁμολογέω
to confess, profess

ἀντιχρίστου: noun, genitive singular masculine < ἀντίχριστος
antichrist

## I John 4: 4

ὑμεῖς ἐκ τοῦ θεοῦ ἐστε, τεκνία, καὶ νενικήκατε αὐτούς, ὅτι μείζων ἐστὶν ὁ ἐν ὑμῖν ἢ ὁ ἐν τῷ κόσμῳ·

τεκνία: noun, plural neuter < τεκνίον
a little child

νενικήκατε: verb, 2nd person perfect active indicative plural < νικάω
to conquer

## I John 4: 5

αὐτοὶ ἐκ τοῦ κόσμου εἰσίν· διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσιν καὶ ὁ κόσμος αὐτῶν ἀκούει.

There are no rare words in this verse.

## I John 4: 6

ἡμεῖς ἐκ τοῦ θεοῦ ἐσμεν· ὁ γινώσκων τὸν θεὸν ἀκούει ἡμῶν, ὃς οὐκ ἔστιν ἐκ τοῦ θεοῦ οὐκ ἀκούει ἡμῶν. ἐκ τούτου γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης.

πλάνης: noun, genitive singular feminine < πλάνη
a wandering, error

## I John 4: 7

Ἀγαπητοί, ἀγαπῶμεν ἀλλήλους, ὅτι ἡ ἀγάπη ἐκ τοῦ θεοῦ ἐστιν, καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ θεοῦ γεγέννηται καὶ γινώσκει τὸν θεόν.

There are no rare words in this verse.

## I John 4: 8

ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν θεόν, ὅτι ὁ θεὸς ἀγάπη ἐστίν.

There are no rare words in this verse.

## I John 4: 9

ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ θεοῦ ἐν ἡμῖν, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἀπέσταλκεν ὁ θεὸς εἰς τὸν κόσμον ἵνα ζήσωμεν δι’ αὐτοῦ.

μονογενῆ: adjective, accusative singular masculine < μονογενής
only begotten, only

## I John 4: 10

ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήκαμεν τὸν θεόν, ἀλλ’ ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς καὶ ἀπέστειλεν τὸν υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν.

ἱλασμὸν: noun, accusative singular masculine < ἱλασμός
expiation, propitiation, sin-offering

## I John 4: 11

ἀγαπητοί, εἰ οὕτως ὁ θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν.

ὀφείλομεν: verb, 1st person present active indicative plural < ὀφείλω
to owe, ought

## I John 4: 12

θεὸν οὐδεὶς πώποτε τεθέαται· ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ θεὸς ἐν ἡμῖν μένει καὶ ἡ ἀγάπη αὐτοῦ ἐν ἡμῖν τετελειωμένη ἐστιν.

πώποτε: adverb < πώποτε
ever yet, any time

τεθέαται: verb, 3rd person perfect middle indicative singular < θεάομαι
to behold

τετελειωμένη: verb, perfect passive participle nominative singular feminine < τελειόω
to fulfill, make perfect

## I John 4: 13

Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν.

There are no rare words in this verse.

## I John 4: 14

καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν ὅτι ὁ πατὴρ ἀπέσταλκεν τὸν υἱὸν σωτῆρα τοῦ κόσμου.

τεθεάμεθα: verb, 1st person perfect middle indicative plural < θεάομαι
to behold

σωτῆρα: noun, accusative singular masculine < σωτήρ
Savior

## I John 4: 15

ὃς ἐὰν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, ὁ θεὸς ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν τῷ θεῷ.

ὁμολογήσῃ: verb, 3rd person aorist active subjunctive singular < ὁμολογέω
to confess, profess

## I John 4: 16

καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ θεὸς ἐν ἡμῖν. Ὁ θεὸς ἀγάπη ἐστίν, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ θεῷ μένει καὶ ὁ θεὸς ἐν αὐτῷ μένει.

There are no rare words in this verse.

## I John 4: 17

ἐν τούτῳ τετελείωται ἡ ἀγάπη μεθ' ἡμῶν, ἵνα παρρησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅτι καθὼς ἐκεῖνός ἐστιν καὶ ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ.

τετελείωται: verb, 3rd person perfect passive indicative singular < τελειόω
to fulfill, make perfect

παρρησίαν: noun, accusative singular feminine < παρρησία
boldness, confidence

## I John 4: 18

φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον, ὅτι ὁ φόβος κόλασιν ἔχει, ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ.

τελεία: adjective, nominative singular feminine < τέλειος
complete, perfect, mature

κόλασιν: noun, accusative singular feminine < κόλασις
punishment

τετελείωται: verb, 3rd person perfect passive indicative singular < τελειόω
to fulfill, make perfect

## I John 4: 19

ἡμεῖς ἀγαπῶμεν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς.

There are no rare words in this verse.

## I John 4: 20

ἐάν τις εἴπῃ ὅτι Ἀγαπῶ τὸν θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακεν, τὸν θεὸν ὃν οὐχ ἑώρακεν οὐ δύναται ἀγαπᾶν.

ψεύστης: noun, nominative singular masculine < ψεύστης
a liar

## I John 4: 21

καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν θεὸν ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.

There are no rare words in this verse.

## I John 5: 1

Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ χριστὸς ἐκ τοῦ θεοῦ γεγέννηται, καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ.

There are no rare words in this verse.

## I John 5: 2

ἐν τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ θεοῦ, ὅταν τὸν θεὸν ἀγαπῶμεν καὶ τὰς ἐντολὰς αὐτοῦ ποιῶμεν·

There are no rare words in this verse.

## I John 5: 3

αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ θεοῦ ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν, καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν,

βαρεῖαι: adjective, nominative plural feminine < βαρύς
heavy, burdensome

## I John 5: 4

ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ θεοῦ νικᾷ τὸν κόσμον. καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν·

νικᾷ: verb, 3rd person present active indicative singular < νικάω
to conquer

νίκη: noun, nominative singular feminine < νίκη
victory

νικήσασα: verb, aorist active participle nominative singular feminine < νικάω
to conquer

## I John 5: 5

τίς δέ ἐστιν ὁ νικῶν τὸν κόσμον εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ;

νικῶν: verb, present active participle nominative singular masculine < νικάω
to conquer

## I John 5: 6

Οὗτός ἐστιν ὁ ἐλθὼν δι’ ὕδατος καὶ αἵματος, Ἰησοῦς Χριστός· οὐκ ἐν τῷ ὕδατι μόνον ἀλλ’ ἐν τῷ ὕδατι καὶ ἐν τῷ αἵματι· καὶ τὸ πνεῦμά ἐστιν τὸ μαρτυροῦν, ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια.

There are no rare words in this verse.

## I John 5: 7

ὅτι τρεῖς εἰσιν οἱ μαρτυροῦντες,

There are no rare words in this verse.

## I John 5: 8

τὸ πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα, καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν.

There are no rare words in this verse.

## I John 5: 9

εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρτυρία τοῦ θεοῦ μείζων ἐστίν, ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ θεοῦ ὅτι μεμαρτύρηκεν περὶ τοῦ υἱοῦ αὐτοῦ.

μαρτυρίαν: noun, accusative singular feminine < μαρτυρία
a testimony, evidence

μαρτυρία: noun, nominative singular feminine < μαρτυρία
a testimony, evidence

μαρτυρία: noun, nominative singular feminine < μαρτυρία
a testimony, evidence

## I John 5: 10

ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ θεοῦ ἔχει τὴν μαρτυρίαν ἐν αὐτῷ· ὁ μὴ πιστεύων τῷ θεῷ ψεύστην πεποίηκεν αὐτόν, ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν ἣν μεμαρτύρηκεν ὁ θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ.

μαρτυρίαν: noun, accusative singular feminine < μαρτυρία
a testimony, evidence

ψεύστην: noun, accusative singular masculine < ψεύστης
a liar

μαρτυρίαν: noun, accusative singular feminine < μαρτυρία
a testimony, evidence

## I John 5: 11

καὶ αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ὁ θεὸς ἡμῖν, καὶ αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν.

μαρτυρία: noun, nominative singular feminine < μαρτυρία
a testimony, evidence

## I John 5: 12

ὁ ἔχων τὸν υἱὸν ἔχει τὴν ζωήν· ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ θεοῦ τὴν ζωὴν οὐκ ἔχει.

There are no rare words in this verse.

## I John 5: 13

Ταῦτα ἔγραψα ὑμῖν ἵνα εἰδῆτε ὅτι ζωὴν ἔχετε αἰώνιον, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ.

There are no rare words in this verse.

## I John 5: 14

καὶ αὕτη ἐστὶν ἡ παρρησία ἣν ἔχομεν πρὸς αὐτόν, ὅτι ἐάν τι αἰτώμεθα κατὰ τὸ θέλημα αὐτοῦ ἀκούει ἡμῶν.

παρρησία: noun, nominative singular feminine < παρρησία

boldness, confidence

## I John 5: 15

καὶ ἐὰν οἴδαμεν ὅτι ἀκούει ἡμῶν ὃ ἐὰν αἰτώμεθα, οἴδαμεν ὅτι ἔχομεν τὰ αἰτήματα ἃ ᾐτήκαμεν ἀπ’ αὐτοῦ.

αἰτήματα: noun, accusative plural neuter < αἴτημα
a request

## I John 5: 16

ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ ζωήν, τοῖς ἁμαρτάνουσιν μὴ πρὸς θάνατον. ἔστιν ἁμαρτία πρὸς θάνατον· οὐ περὶ ἐκείνης λέγω ἵνα ἐρωτήσῃ.

There are no rare words in this verse.

## I John 5: 17

πᾶσα ἀδικία ἁμαρτία ἐστίν, καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον.

ἀδικία: noun, nominative singular feminine < ἀδικία
unrighteousness

## I John 5: 18

Οἴδαμεν ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ οὐχ ἁμαρτάνει, ἀλλ’ ὁ γεννηθεὶς ἐκ τοῦ θεοῦ τηρεῖ αὐτόν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ.

ἅπτεται: verb, 3rd person present middle indicative singular < ἅπτω
grasp (c. gen) <br />perceive (c. gen)

## I John 5: 19

οἴδαμεν ὅτι ἐκ τοῦ θεοῦ ἐσμεν, καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται.

κεῖται: verb, 3rd person present middle indicative singular < κεῖμαι
to lie, be laid

## I John 5: 20

οἴδαμεν δὲ ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν ἵνα γινώσκωμεν τὸν ἀληθινόν· καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς καὶ ζωὴ αἰώνιος.

ἥκει: verb, 3rd person present active indicative singular < ἥκω
to have come

διάνοιαν: noun, accusative singular feminine < διάνοια
the mind, understanding, a thought

ἀληθινόν: adjective, accusative singular masculine < ἀληθινός
TRUE

ἀληθινῷ: adjective, dative singular masculine < ἀληθινός
TRUE

ἀληθινὸς: adjective, nominative singular masculine < ἀληθινός
TRUE

## I John 5: 21

Τεκνία, φυλάξατε ἑαυτὰ ἀπὸ τῶν εἰδώλων.

Τεκνία: noun, plural neuter < τεκνίον
a little child

φυλάξατε: verb, 2nd person aorist active imperative plural < φυλάσσω
to guard, keep

εἰδώλων: noun, genitive plural neuter < εἴδωλον
an image, idol